Ἔτι, εἰ ἐξ ὕλης συγκέοιτο ἡ νοερὰ οὐσία, εἴη ἂν ἐξ ὕλης ἀτόμου, ἵνα ὑφεστηκυῖα ᾖ· ἀλλὰ τοῦτο ἀδύνατον· τὰ γὰρ εἴδη τῶν νοητῶν νοητά εἰσιν ἐνεργείᾳ, καθὸ τῆς ὕλης χωρίζονται· καθόσον δέ εἰσι νοητὰ ἐνεργείᾳ, ἓν μετὰ τοῦ νοῦ γίνονται διὰ τὸ τὸν νοῦν ἀνάγκην εἶναι ἄνευ ὕλης ἀτόμου.

Ἔτι, ἑκάστου ἐξ ὕλης καὶ εἴδους συγκειμένου ἡ ἐνέργεια οὐ τοῦ εἴδους ἢ τῆς ὕλης χωρίς, ἀλλὰ τοῦ συγκειμένου ἐστίν· ἀλλὰ τὸ νοεῖν τοῦ νοῦ, ὅς ἐστιν ἐξ ὕλης καὶ εἴδους σύνθετος, οὐχ οἷόν τε εἶναι τοῦ συνθέτου· εἰ γὰρ τοῦ συνθέτου ἔσται, καὶ τὸ σύνθετον νοήσει μόνον· τοῦτο δὲ ψεῦδος.

Ἔτι, τὰ εἴδη τῶν ὄντων εἶεν ἂν ὑλικῶς καὶ ἐν τῇ ψυχῇ, ὥσπερ εἰσὶν ἔξω· ἔξω δὲ οὐκ εἰσὶ νοητὰ ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον· καὶ ἐν τῇ ψυχῇ ἄρα οὕτως ἔσονται.

Ἔτι, τὰ εἴδη τῶν ἐναντίων ἐν τῇ ὕλῃ ἐναντία, διὸ καὶ ἐξωθοῦσιν ἄλληλα· ἐν δὲ τῷ νῷ οὐκ εἰσὶν ἐναντία· λόγος μὲν οὖν ἐστι θατέρου θάτερον, καὶ δι' ἀλλήλων νοοῦνται. Οὐκ ἄρα ἔχουσι τὸ ὑλικὸν εἶναι ἐν τῷ νῷ, οὐδ' ὁ νοῦς ἐξ ὕλης καὶ εἴδους.

Ἔτι, ἡ ὕλη οὐ δέχεταί τι ἐκ νέου εἶδος ἄνευ κινήσεως ἢ μεταβολῆς· ὁ δὲ νοῦς οὐ κινεῖται δεχόμενος τὰ εἴδη, ἀλλὰ μᾶλλον ἠρεμῶν τελειοῦται τῷ νοεῖν, καὶ ἐμποδὼν αὐτῷ πρὸς τὸ νοεῖν ἡ κίνησις· οὐκ ἄρα εἰσὶν ἐν τῷ νῷ ὡς ἐν ὕλῃ, | f. 51 ἢ ἐν πράγματι ὑλικῷ· ὅθεν φανερόν, ὅτι αἱ νοεραὶ οὐσίαι ἄϋλοί εἰσιν, ὥσπερ εἰσὶν καὶ ἀσώματοι.

## LI. — Ὅτι ἡ νοερὰ οὐσία οὐκ ἔστιν εἶδος ὑλικόν.

Τὸ γὰρ λέγειν εἶδος εἶναι τὸν νοῦν μὴ ὑφεστώς, ἀλλ' ὥσπερ τῇ ὕλῃ βαπτισθέν, ταὐτόν ἐστι κατὰ τὸ πρᾶγμα, ὥσπερ ἂν εἰ λέγοιτο τὸν νοῦν εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους, μόνον δὲ κατὰ τοὔνομα διαφέρει. Κατὰ μὲν γὰρ τὸν πρότερον τρόπον λεχθήσεται αὐτὸ τὸ εἶδος τοῦ νοῦ σύνθετον, κατὰ δὲ τὸν ὕστερον ὁ νοῦς. Εἰ τοίνυν ψεῦδός ἐστι τὸν νοῦν σύνθετον εἶναι ἐξ ὕλης καὶ εἴδους, ψεῦδος ἔσται καὶ τὸ εἶδος εἶναι ὑλικόν, ἀλλὰ μὴ ὑφεστώς.

## LII. — Ὅτι διάφορον ἐν αὐταῖς τὸ εἶναι καὶ ὅ εἰσιν.

Διὰ ταῦτα μέντοι γε τῇ θείᾳ ἁπλότητι οὐκ ἐξισοῦνται αἱ νοεραὶ οὐσίαι· πρῶτον μὲν γὰρ τὸ εἶναι καὶ ὅ εἰσιν ἐν αὐταῖς οὐκ ἔστι ταὐτόν· τὸ γὰρ ὑφεστὼς εἶναι ἕν ἐστι μόνον, ὡς ὁ Θεός ἐστι τὸ εἶναι αὐτοῦ ὑφεστώς, καὶ διὰ τοῦτο οὐδὲν παρ' αὐτὸν δύναται εἶναι τὸ εἶναι αὐτοῦ.

Ἔτι, τὸ ὑφεστὼς εἶναι ἄπειρον εἶναι ἀνάγκη· οὐ γὰρ ὁρίζεται δεκτικῷ τινι· ἓν δέ ἐστιν ἄπειρον τὸ πρῶτον εἶναι· καὶ ἓν ἄρα ἐστὶν ὑφεστὼς εἶναι αὐτό.

Ἔτι, αὐτὸ τὸ εἶναι ἁρμόζει τῷ πρώτως ποιοῦντι κατὰ τὴν ἰδίαν φύσιν· τὸ γὰρ εἶναι τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ· τὸ δὲ ἁρμόζον τινὶ κατὰ τὴν

Ε.Υ.Δ της Κτ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἰδίαν φύσιν, εἰ ἄλλοις ἔνεστι, κατὰ μετοχὴν ἔνεστιν, ὡς ἡ θέρμη τοῖς ἄλλοις ἐκ τοῦ πυρός· τὸ δὲ κατὰ μετοχὴν ἁρμόζον τινὶ οὐκ ἔστιν οὐσία αὐτοῦ· ἀδύνατον τοίνυν ἐστὶν ἑτέρου τινὸς ὄντος οὐσίαν παρὰ τὸ πρώτως ποιοῦν αὐτὸ τὸ εἶναι τυγχάνειν.

Ἐντεῦθέν ἐστιν ὅτι ἐν τῇ Ἐξόδῳ ἴδιον ὄνομα τίθεται τοῦ Θεοῦ, τὸ ὄν, τῷ τὴν οὐσίαν αὐτοῦ μὴ εἶναι ἕτερον ἢ τὸ εἶναι αὐτοῦ, καὶ ταύτην ἰδιότητα αὐτοῦ εἶναι μόνου.

LIII. — Ὅτι ἐν ταῖς νοεραῖς οὐσίαις ἔστι δύναμις καὶ ἐνέργεια.

Ἐν οἷς γὰρ ἔστι διαφορὰ τῆς οὐσίας καὶ τοῦ εἶναι, ἐν τούτοις καὶ σύνθεσίς ἐστιν ἐνεργείας τε καὶ δυνάμεως· τὸ γὰρ εἶναι συμπληρωτικόν ἐστι τῆς ὑφεστώσης οὐσίας, ὅταν ἄλλο παρ' αὐτὴν ᾖ· ἕκαστον γὰρ ἐνεργείᾳ ἐστὶ καθὸ τὸ εἶναι ἔχει, καὶ ἡ οὐσία τότε πρὸς τὸ εἶναι λόγον ἔχει δυνάμεως.

Ἔτι, πᾶν τὸ μετέχον παραβάλλεται πρὸς τὸ μετεχόμενον ὡς δύναμις πρὸς ἐνέργειαν· τῷ γὰρ μετέχειν τοῦ μετεχομένου γίνεται ἐνεργείᾳ τοιοῦτον. Ἀλλ' ὁ Θεὸς μόνος ἐστὶν οὐσιωδῶς ὄν, τὰ δὲ ἄλλα μετέχουσιν αὐτοῦ τοῦ εἶναι. Πᾶσα τοίνυν κτιστὴ οὐσία παραβάλλεται πρὸς τὸ ἑαυτῆς εἶναι ὡς δύναμις πρὸς ἐνέργειαν.

LIV. — Ὅτι οὐκ ἔστι ταὐτόν, ἡ ἐκ τῆς οὐσίας καὶ τοῦ f. 51v
εἶναι καὶ ἡ τῆς ὕλης καὶ τοῦ εἴδους σύνθεσις.

Εἰ γὰρ καὶ ἑκατέρα σύνθεσις ἐκ δυνάμεως ἐστὶ καὶ ἐνεργείας, ἀλλ' οὐκ εἰσὶν ἄμφω τοῦ αὐτοῦ λόγου· ἡ γὰρ σύνθεσις τῆς ἐνεργείας καὶ τῆς δυνάμεως ἐπὶ πᾶσιν ἔστιν, καθόσον ἡ μὲν ὕλη καὶ τὸ εἶδος διαιροῦσι τὴν φυσικὴν μόνην οὐσίαν, ἡ δὲ δύναμις καὶ ἐνέργεια διαιροῦσι τὸ κοινὸν ὄν, καὶ διὰ τοῦτο τὰ μὲν ἑπόμενα τῇ δυνάμει καὶ ἐνεργείᾳ, καθόσον τοιαῦτα, κοινά εἰσι τῶν κτιστῶν οὐσιῶν, ὑλικῶν τε καὶ ἀΰλων, ὡς τὸ δέχεσθαι τὸ ἐπεισιέναι, τὸ τελειοῦν καὶ τὸ τελειοῦσθαι· τὰ δὲ ἴδια τῆς ὕλης καὶ τοῦ εἴδους, οἷον γίνεσθαι καὶ φθείρεσθαι καὶ τὰ τοιαῦτα, τῶν ὑλικῶν εἰσι μόνων οὐσιῶν.

LV. — Ὅτι αἱ νοεραὶ οὐσίαι ἄφθαρτοί εἰσιν.

Πᾶσα γὰρ φθορὰ κατά τινα χωρισμόν ἐστι τοῦ εἴδους ἀπὸ τῆς ὕλης, ἡ μὲν ἁπλῆ, χωριζομένου τοῦ οὐσιώδους εἴδους, ἡ δὲ κατά τι, τοῦ συμβεβηκότος· ἕως γὰρ ἂν μένῃ τὸ εἶδος, καὶ τὸ πρᾶγμα ἔστιν· διὰ γὰρ τοῦ εἴδους ὑποκείμενον γίνεται ἡ οὐσία τοῦ εἶναι· ἀλλ' οὐδεμία οὐσία νοερὰ

19 *παραβάλλεται* écrit 2 fois par distraction A; le premier a été biffé

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σύγκειται ἐξ ὕλης καὶ εἴδους· οὔτε χωρίζεται ἄρα ἐν αὐτῇ τὸ εἶδος ὁποιονοῦν, οὔτε φθορὰ ἕπεται.

Ἔτι, ἐν τῇ νοερᾷ οὐσίᾳ οὐκ ἔστι δύναμις πρὸς τὸ μὴ εἶναι· ἔστι γὰρ συμπεπληρωμένη οὐσία καὶ ἁπλῆ· ἐν παντὶ δὲ φθαρτῷ ἀνάγκη δύναμιν εἶναι πρὸς τὸ μὴ εἶναι.

Ἔτι, πᾶν τὸ φθειρόμενον ἢ σῶμά ἐστιν, ἢ εἶδός τι σώματος, ἢ δύναμις σώματος ἠρτημένη· τὰ γὰρ τοιαῦτα κινούμενα φθείρεται· ἀλλ' αἱ νοεραὶ οὐσίαι τούτων οὐδέν εἰσιν.

Ἔτι, τὸ νοητόν, ᾗ νοητόν, καθόλου καὶ ἄφθαρτον· τὸ δὲ νοητὸν τελειότης τοῦ νοῦ· ἀνάλογα ἄρα εἰσίν, ὥστε καὶ ὁ νοῦς ἄφθαρτος.

Ἔτι, αἱ νοεραὶ οὐσίαι φυσικῇ ἐπιθυμίᾳ ἐφίενται τοῦ ἀεὶ εἶναι, καὶ μετὰ γνώσεως τούτου ἐφίενται, καὶ τοῦ κατὰ ἄτομον εἶναι, οὐ τοῦ κατ' εἶδος εἶναι· καὶ ἀδύνατον εἶναι εἰκῇ τὴν φυσικὴν ἐπιθυμίαν ταύτην.

Ἐντεῦθέν ἐστι τὸ ἐν ψαλμοῖς· „Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν". Ὅπου, συναριθμηθέντων τῶν ἀγγέλων καὶ τῶν οὐρανίων σωμάτων, συνάπτεται· „Ἔστησε αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος".

## LVI-LVII. — Πῶς ἡ νοερὰ οὐσία δύναται ἑνωθῆναι σώματι.

Ὅτι οὐ δύναται ἑνωθῆναι κατὰ τρόπον μίξεως· τὰ γὰρ μιγνύμενα ἀνάγκη ἀλλοιοῦσθαι πρὸς ἄλληλα, ὅπερ συμβαίνει ἐν ἐκείνοις, ὧν ἡ αὐτὴ ὕλη, ἅπερ δύνανται ἀλλήλων εἶναι δραστικὰ καὶ παθητικά· αἱ δὲ νοεραὶ οὐσίαι οὐ κοινωνοῦσι τοῖς σωματικοῖς κατὰ τὴν ὕλην· ἄϋλοι γάρ, ὡς ἐδείχθη.

Ἀλλ' οὐδὲ ὡς ὁ κινῶν τῷ κινουμένῳ μόνον ἑνοῦται, ὡς ὁ Πλάτων ὑπέθετο, λέγων εἶναι τὴν ψυχὴν ἐν τῷ σώματι ὡς ὁ ναύτης ἐν τῇ νηΐ,
f. 52 τουτέστι κατὰ | δυνάμεως ἐπαφὴν μόνον· ἀλλ' οὕτως οὐ γίνεται ἓν ἁπλῶς· ἐκ δὲ τῆς ἑνώσεως τῆς ψυχῆς καὶ τοῦ σώματος γίνεται ἕν· εἰ δὲ μὴ ἦν ὁ ἄνθρωπος ἓν ἁπλῶς, οὐδ' ἂν ἦν ὂν εἰ μὴ κατὰ συμβεβηκός. Πρὸς δὲ τὸ φυλάξασθαι τοῦτο, ὑπέθετο Πλάτων μὴ συγκεῖσθαι τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος, ἀλλὰ τὴν ψυχὴν ἄνθρωπον εἶναι χρωμένην σώματι, ὥσπερ ὁ Πέτρος ἄνθρωπός ἐστι χρώμενος ἱματίῳ, οὐ σύνθετος ἐξ ἀνθρώπου καὶ ἱματίου. Τοῦτο δὲ δείκνυται ἀδύνατον εἶναι· ὁ γὰρ ἄνθρωπος καὶ τὸ ζῷον αἰσθητά τινα εἰσὶ καὶ φυσικά· τοῦτο δὲ οὐκ ἂν ἦν, εἰ τὸ σῶμα καὶ τὰ μέρη αὐτοῦ οὐκ ἦσαν ἐκ τῆς τοῦ ἀνθρώπου καὶ τοῦ ζῴου οὐσίας, ἀλλ' ἡ οὐσία ἑκατέρου ἦν ἡ ψυχή, κατὰ τὴν προειρημένην θέσιν· ἡ γὰρ ψυχὴ οὐκ αἰσθητόν τί ἐστιν οὔτε ὑλικόν. Ἀδύνατον τοίνυν τὸν ἄνθρωπον καὶ τὸ ζῷον ψυχὴν εἶναι χρωμένην σώματι, μηδὲν δὲ ἐκ ψυχῆς καὶ σώματος συγκείμενον.

Ἔτι, τὸ κινούμενον οὐ τυγχάνει τοῦ εἴδους ὑπὸ τοῦ κινοῦντος· οὐκοῦν

14 Ps. 148, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐδὲ τὸ σῶμα καὶ τὰ μέρη αὐτοῦ τεύξονται τοῦ εἴδους ἐκ τῆς ψυχῆς, ὥστε ἀπελθούσης αὐτῆς ὑπομένειν τε σῶμα καὶ τὰ μέρη αὐτοῦ τοῦ αὐτοῦ εἴδους· ἀλλ' ἀδύνατον· σὰρξ γὰρ καὶ ὀστοῦν καὶ χεὶρ καὶ τὰ μέρη αὐτῶν μετὰ τὴν τῆς ψυχῆς ἀποδημίαν ὁμωνύμως λέγονται μόνον, οὐδεμιᾶς ἐνεργείας τοῖς μέρεσι τούτοις προσούσης, ἥτις τῷ εἴδει ἕπεται. Οὐκ ἄρα ὡς μόνον κινοῦν κινουμένῳ, ἢ ὡς ἄνθρωπος ἱματίῳ ἡ ψυχὴ ἑνοῦται τῷ σώματι.

Ἔτι, τὸ κινητὸν οὐκ ἔχει τὸ εἶναι ἐκ τοῦ κινοῦντος, ἀλλὰ μόνον τὴν κίνησιν· ἀλλὰ τὸ σῶμα ἔχει τὸ εἶναι ἐκ τῆς ψυχῆς· ἔχει γὰρ ἀπ' αὐτῆς τὸ ζῆν, ὅπερ ἐστὶν εἶναί τι τοῦ ζῶντος.

Ἔτι, τὸ κινητὸν οὔτε γίνεται διὰ τὸν συνεγγυσμὸν τοῦ κινοῦντος, οὔτε τῷ χωρισμῷ φθείρεται. Εἰ οὖν ὡς κινοῦν μόνον ἡ ψυχὴ παρεβάλλετο πρὸς τὸ σῶμα, οὔτε γένεσις ἂν ἦν ἐν τῇ ταύτης ἑνώσει μετὰ τοῦ σώματος, οὔτε φθορὰ καὶ θάνατος ἐν τῷ χωρισμῷ.

Ἔτι, ὁμοίως ἔχει ὅλη αἰσθητικὴ ψυχὴ πρὸς ὅλον τὸ σῶμα τοῦ ζῴου, καὶ τὸ μέρος αὐτῆς πρὸς τὸ μέρος· ἀλλ' ἡ ὄψις ἐστὶν εἶδος τοῦ ὀφθαλμοῦ καὶ ἐνέργεια, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· καὶ ἡ ψυχὴ ἄρα ὕλης εἶδος καὶ ἐνέργεια ὅλου τοῦ σώματός ἐστιν.

## LVIII. — Ὅτι ἡ θρεπτικὴ καὶ αἰσθητικὴ καὶ νοερὰ οὐκ εἰσὶ τρεῖς ψυχαὶ ἐν τῷ ἀνθρώπῳ.

Τοῦτο μὲν δόξα τοῦ Πλάτωνος ἦν, ἀλλ' ἀδύνατος· ἐκ γὰρ τοῦ αὐτοῦ | ἔχει ἕκαστον τὸ εἶναι καὶ τὴν ἑνότητα· τὸ γὰρ ἓν ἕπεται τῷ ὄντι· ἔχει f. 52v
δὲ ἕκαστον ἀπὸ τοῦ εἴδους τὸ εἶναι, ὥστε καὶ τὴν ἑνότητα. Εἰ τοίνυν πλείους ἦσαν ψυχαὶ ἐν τῷ ἀνθρώπῳ ὡς εἴδη διάφορα, ὁ ἄνθρωπος οὐκ ἂν ἦν ἕν, ἀλλὰ πλείω· οὐδὲ πρὸς τὴν τοῦ ἀνθρώπου ἑνότητα ἡ τῶν εἰδῶν τάξις ἀρκέσει, ἐπεὶ τὸ κατὰ τάξιν ἓν εἶναι οὐκ ἔστιν ἁπλῶς εἶναι, καὶ ἡ τῆς τάξεως ἑνότης ἐσχάτη τῶν ἑνοτήτων ἐστίν.

Ἐπεὶ δὲ ὑπετίθει Πλάτων τὴν μὲν λογικὴν ψυχὴν ἐν τῷ ἐγκεφάλῳ, τὴν δὲ θρεπτικὴν ἐν τῷ ἥπατι, καὶ τὴν ἐπιθυμητικὴν ἐν τῇ καρδίᾳ, καὶ τοῦτο διχῶς ἐλέγχεται ψεῦδος ὄν· πρῶτον μέν, ὅτι τὸ ἓν μέρος τῆς ψυχῆς, ἤτοι τὸ νοερόν, οὐ δύναταί τινι μέρει σώματος ἀποδίδοσθαι· ἐδείχθη γὰρ μὴ εἶναι ἐνέργειά τινος μέρους σώματος· δεύτερον, ὅτι φανερόν ἐστιν ἐν τῷ αὐτῷ μέρει τοῦ σώματος πολλὰς ἐνεργείας φαίνεσθαι διαφόρων μερῶν τῆς ψυχῆς, ὡς ἐν τοῖς ζῴοις, ἃ ζῶσι διαιρεθέντα· τὸ γὰρ αὐτὸ μέρος καὶ κίνησιν καὶ αἴσθησιν ἔχει καὶ ἔφεσιν οἷς κινεῖται· ὁμοίως δὲ καὶ τὸ αὐτὸ τοῦ φυτοῦ μέρος διαιρεθὲν τρέφεται καὶ αὔξεται καὶ βλαστάνει· ὅθεν φανερόν, ὅτι τὰ διάφορα τῆς ψυχῆς μέρη ἐν τῷ αὐτῷ καὶ ἑνὶ μέρει τοῦ

---

35 οἷς corrigé de ἡ A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σώματός εἰσιν· οὐκ ἄρα διάφοροι ψυχαί εἰσιν ἐν ἡμῖν, διαφόροις μέρεσι τοῦ σώματος ἀποδεδομέναι.

### LIX. — Ὅτι ὁ δυνάμει νοῦς οὐκ ἔστιν οὐσία χωριστή.

Ὁ μὲν Ἀβερόης καί τινες τῶν ἀρχαίων, ὡς αὐτός φησιν, ἐτίθει τὸν δυνάμει νοῦν, ᾧ νοεῖ ἡ ψυχή, εἶναι κεχωρισμένον τοῦ σώματος κατὰ τὸ εἶναι καὶ μὴ εἶναι εἶδος σώματος, τῷ Ἀριστοτέλῃ ἐρειδόμενος, ὅς φησι τὸν τοιοῦτον νοῦν χωριστὸν καὶ ἀμιγῆ σώματι, καὶ ἁπλοῦν καὶ ἀπαθῆ, καὶ ἄλλοις λόγοις, οὓς διὰ συντομίαν παρίεμεν· δείξομεν δὲ ὕστερον καὶ τὴν ἀριστοτελικὴν κατὰ ἀλήθειαν περὶ τούτου γνώμην· ἀλλὰ νῦν ἑνὶ λόγῳ πρὸς τὴν Ἀβερόου δόξαν ἀντιστῆναι ἀρκεῖ. Ὅπου γὰρ ὑψηλοτέρα ἐνέργεια τοῦ ζῶντος, ἐκεῖ καὶ ὑψηλότερον εἶδος ζωῆς, ὡς ἐπὶ τῶν φυτῶν δῆλον, καὶ τῶν ζῴων, καὶ ἔτι περαιτέρω τῶν ἀνθρώπων. Δῆλον οὖν ὅτι ἐν τῷ ἀνθρώπῳ ὑψηλοτέρα ζωῆς ἐνέργεια εὑρίσκεται τὸ νοεῖν· ἀνταποκρίνεται ἄρα αὐτῇ καὶ ὑψηλότερον εἶδος ζωῆς. Ἀλλ' ἡ ζωὴ κατὰ τὴν ψυχήν ἐστιν· ἕξει τοίνυν ὁ ἄνθρωπος ὑψηλοτέραν ψυχὴν ᾗ ζῇ, τῆς αἰσθητικῆς καὶ θρεπτικῆς· οὐδεμία δέ ἐστιν ὑψηλοτέρα τοῦ νοῦ. | f. 53 Ἔστι τοίνυν ὁ νοῦς ψυχὴ τοῦ ἀνθρώπου, καὶ ἀκολούθως εἶδος αὐτοῦ.

### LX.

Τούτοις προσέκειτο, καὶ ὅτι ὁ ἄνθρωπος οὐ λαγχάνει τοῦ εἴδους διὰ τοῦ παθητικοῦ νοῦ, ὡς Ἀβερόης ἐδόξασεν, ἀλλὰ διὰ τοῦ δυνάμει νοῦ· παθητικὸν δὲ ἔλεγε νοῦν τὴν διαλογιστικὴν δύναμιν, ἐν ᾧ τὰς τῶν ἐπιστημῶν ἕξεις ἔλεγεν εἶναι ὡς ἐν ὑποκειμένῳ, καὶ οὗ τὴν καθέδραν ἐν μέσῃ τῇ κοιλίᾳ τῆς κεφαλῆς εἶναι ἔλεγεν. Ἀλλὰ τοὐναντίον εἶναι ἀληθὲς πολλοῖς δείκνυται λόγοις καὶ ἀρίστοις, οὓς καὶ αὐτοὺς διὰ συντομίαν παρήκαμεν, καὶ ὅτι οὐδὲν ἡμῖν εἰσι προὔργου πρὸς τὸν σκοπὸν τῆς ἐπιτομῆς τοῦ ὅλου βιβλίου, εἰ καὶ ἄλλως σπουδαῖοί εἰσι τοῖς χρῄζουσιν ἐγγυμνάζεσθαι.

### LXI. — Ὅτι ἐναντίαι αὗται αἱ δόξαι.

Ὅτι δὲ ἐναντία ἡ θέσις Ἀβερόου τῇ Ἀριστοτέλους ἀποφάσει, προὔργου ἐπιδεικνύναι δεῖ. Αὐτὸς γὰρ ἐν δευτέρῳ τοῦ περὶ ψυχῆς, ὁρισάμενος τὴν ψυχὴν ἐντελέχειαν εἶναι πρώτην φυσικοῦ ὀργανικοῦ σώματος δυνάμει ζωὴν ἔχοντος, εὐθὺς συνάπτει ὅτι ὁ ὁρισμὸς οὗτος, καθόλου ῥηθείς, ἔστι περὶ ἁπάσης ψυχῆς· εἶτα ἐν τῷ αὐτῷ κεφαλαίῳ ἐπάγει εἶναί τινα μέρη τῆς ψυχῆς χωριστά, ἅτινα οὐκ εἰσὶν εἰ μὴ τὰ νοερά, ὥστε κἀκεῖνα ἐντελέχειαν εἶναι τοῦ σώματος. Εἰ δὲ ἐπάγει· „Περὶ δὲ τοῦ νοῦ καὶ τῆς διανοητικῆς δυνάμεως, οὔπω οὐδέν ἐστι φανερόν, ἀλλ' ἔοικεν ἕτερον γένος εἶναι ψυχῆς“, οὐ διὰ τοῦτο ἀλλοτριοῦν βούλεται τὸν νοῦν τοῦ κοινοῦ τῆς ψυχῆς ὁρισμοῦ, ἀλλὰ τῶν ἰδίων φύσεων τῶν ἄλλων μερῶν, ὥσπερ ὁ λέγων ἄλλο γένος

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἶναι τοῦ ζῴου τὸ πτηνὸν παρὰ τὸ πεζὸν οὐκ ἀφαιρεῖ τοῦ πτηνοῦ τὸν κοινὸν ὁρισμὸν τοῦ ζῴου. Εἰ δὲ ἡ ψυχὴ ὁμωνύμως ἐλέγετο κατὰ τοῦ νοῦ καὶ τῶν ἄλλων, πρῶτον ἂν διέκρινε τὴν ὁμωνυμίαν, καὶ μετὰ ταῦτα ὡρίσατο ἄν, ὥσπερ ἔθος αὐτῷ· ἄλλως γὰρ ἂν δι' ὁμωνύμων προΐοι, ὅπερ οὐκ ἔστιν ἐν ταῖς ἀποδεικτικαῖς ἐπιστήμαις.

Ἔτι, ἐν δευτέρῳ περὶ ψυχῆς τὸν νοῦν εἰς τὰς δυνάμεις τῆς ψυχῆς ἀριθμεῖ, καὶ ἐν τῷ προειρημένῳ ῥητῷ, διανοητικὴν δύναμιν ὀνομάζει· οὐκ ἄρα ὁ νοῦς ἐκτός ἐστι τῆς ψυχῆς κατ' αὐτόν, ἀλλὰ δύναμίς τις αὐτῆς.

Ἔτι, ἐν τρίτῳ περὶ ψυχῆς φησί. „Περὶ δὲ τοῦ μέρους τῆς ψυχῆς ᾧ ἡ ψυχὴ φρονεῖ καὶ γινώσκει", ἐν ᾧ φανερῶς δείκνυσι τὸν νοῦν εἶναί τι τῆς | ψυχῆς. f. 53v

Ἔτι, μετὰ ταῦτα διακαθαίρει τὸν δυνάμει νοῦν ἐπάγων. „Λέγω δὲ τὸν νοῦν, ᾧ δοξάζει καὶ νοεῖ ἡ ψυχή".

## LXII. — Περὶ τῆς Ἀλεξάνδρου δόξης περὶ τοῦ νοῦ.

Ὁ δὲ Ἀλέξανδρος ὑπέθετο τὸν δυνάμει νοῦν εἶναί τινα δύναμιν ἐν ἡμῖν, ᾗ ὁ κοινὸς ἐφαρμόζει τῆς ψυχῆς λόγος, μὴ εἶναι δὲ ἱδρυμένην ἔν τινι νοερᾷ οὐσίᾳ, ἀλλὰ τῷ τρόπῳ τῆς τῶν στοιχείων μίξεως ἐν τῷ ἀνθρωπείῳ σώματι ἑπομένην πρὸς τὸ τὴν ἐπίρροιαν δέχεσθαι τοῦ ἐνεργοῦντος νοῦ, ὅς ἀεί ἐστιν ἐνεργείᾳ καὶ οὐσία τις χωριστή, καὶ τῇ ἐπιρροίᾳ ἐκείνῃ τὸν ἄνθρωπον γίνεσθαι ἐνεργείᾳ νοοῦντα· ᾧ δὲ ὁ ἄνθρωπος δυνάμει νοῶν ἐστι, τὸν δυνάμει νοῦν εἶναι, καίτοι γε Ἀριστοτέλης ἐν τρίτῳ περὶ ψυχῆς δείκνυσι τὸν δυνάμει νοῦν ἀμιγῆ εἶναι σώματι, ᾧ οὐ συναληθεύει τῷ ἕπεσθαι αὐτὸν τῇ μίξει τῶν στοιχείων. Ἀλλ' οὐδὲ προδιάθεσις δύναται εἶναι καὶ δυνάμει νοῦς, ὡς αὐτός φησιν· ἄλλο γὰρ τὸ προδιατίθεσθαι, καὶ ἄλλο τὸ δέχεσθαι τὰ προδιατεθειμένα, ὅ φησιν Ἀριστοτέλης περὶ τοῦ δυνάμει νοῦ, καὶ ὅτι γραμματείῳ ἀγράφῳ ἔοικεν, ὥσπερ διατεθειμένον πρὸς τὴν ὑποδοχὴν ὑποκείμενον. Πῶς δ' ἂν εἴη καὶ προδιάθεσις ὃ ὑπ' Ἀριστοτέλους μέρος τῆς ψυχῆς τίθεται, καὶ ᾧ κατ' αὐτὸν ἡ ψυχὴ δοξάζει καὶ νοεῖ, καὶ ᾧ τυγχάνει τοῦ εἴδους ὁ ἄνθρωπος, ὡς μέρει τυγχάνοντι τῆς ψυχῆς, ἥτις εἶδος αὐτοῦ ἐστι καὶ ἐντελέχεια;

## LXIII. — Ὅτι οὐκ ἔστιν ἡ ψυχὴ κρᾶσις.

Ταύτῃ τῇ δόξῃ ἔοικεν ἡ τοῦ Γαλήνου δόξα περὶ ψυχῆς, ὅτι κρᾶσίς ἐστιν, κινηθέντος ἐκ τοῦ τὰς διαφόρους ἐν ἡμῖν κράσεις διαφόρων παθῶν αἰτίας γίνεσθαι, ἃ τῇ ψυχῇ ἀποδίδονται, ὥσπερ οἱ χολώδεις ῥᾳδίως ὀργίζονται, καὶ οἱ μελαγχολικοὶ ῥᾳδίως λυποῦνται. Ἀλλ' ἀδύνατον· ἡ γὰρ ἐνέργεια τοῦ νοῦ ὑπερήπλωται τῆς δυνάμεως τῶν ποιητικῶν καὶ παθητικῶν ποιοτήτων, αἵ εἰσι τῆς κράσεως αἴτιαι, καὶ οὐ δύναται ἡ κρᾶσις αἰτία εἶναι τῶν ἐνεργειῶν τῆς ἀνθρωπίνης ψυχῆς· ὥστε οὐδὲ ἡ ψυχὴ κρᾶσις.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, τῇ μὲν κράσει ἔστι τι ἐναντίον, καὶ τὸ μᾶλλον δέχεται διὰ τοῦτο καὶ τὸ ἧττον· τῇ δὲ ψυχῇ οὐσιώδει εἴδει τυγχανούσῃ καὶ οὐσίᾳ οὐδὲν προσήκει τοιοῦτον. Ἠπάτηται δὲ μὴ κατανοήσας ἄλλως ἀποδίδοσθαι τὰ πάθη τῇ κράσει, καὶ ἄλλως τῇ ψυχῇ· τῇ μὲν γὰρ ὡς διατιθείσῃ καὶ ὡς τῷ ἐν τοῖς πάθεσιν ὑλικῷ, ὡς τῇ ζέσει τοῦ αἵματος· τῇ δὲ ψυχῇ ὡς πρώτῃ αἰτίᾳ καὶ τῷ ἐν τοῖς πάθεσιν εἰδικῷ, ὥσπερ ἐστὶν ἐν τῇ ὀργῇ ἡ ὄρεξις τῆς ἀντιλυπήσεως.

f. 54

## LXIV. — Ὅτι οὐκ ἔστιν ἁρμονία.

Ἄλλοι τὴν ψυχὴν ἁρμονίαν τῶν ἐναντίων εἶναι ὑπέλαβον, ὡς Ἐμπεδοκλῆς, καὶ Τιβούρτιος ὕστερον· ἀλλ' ἀδύνατον· ἡ γὰρ ἁρμονία ἢ ἡ σύνθεσίς ἐστιν, ἢ ὁ τῆς συνθέσεως λόγος· ἀλλ' ἡ ψυχὴ σύνθεσις μὲν οὐκ ἔστιν· ἐδέησε γὰρ ἂν ἕκαστον μόριον τῆς ψυχῆς σύνθεσιν εἶναι μερῶν τινων τοῦ σώματος, ὅπερ ψεῦδός ἐστιν· ἀλλ' οὐδὲ λόγος ἐστὶ τῆς συνθέσεως· ἐπεὶ γὰρ ἐν διαφόροις τοῦ σώματος μέρεσι διάφορα εἴδη καὶ λόγοι συνθέσεως, ἕκαστα τοῦ σώματος μέρη εἶχεν ἂν ἄλλην ψυχήν, οἷον ἄλλην μὲν τὸ ὀστοῦν, ἄλλην δὲ τὸ νεῦρον, ἄλλην δὲ ἡ σάρξ, κατὰ διάφορον ἀναλογίαν συγκείμενα· ὃ ψεῦδός ἐστι φανερῶς.

## LXV. — Ὅτι οὐκ ἔστι σῶμα.

Τὰ γὰρ ζῶντα φυσικὰ σύγκειται ἐξ ὕλης καὶ εἴδους· σύγκειται δὲ ἐκ σώματος καὶ ψυχῆς, ἥτις ἐνεργείᾳ ζῶντα ποιεῖ, ὧν τὸ ἕτερον, εἶδος, τὸ δέ, ὕλη, τὸ λοιπόν· ἀλλὰ τὸ σῶμα οὐ δυνατὸν εἶναι εἶδος· οὐ γάρ ἐστιν ἐν ἑτέρῳ ὡς ἐν ὑποκειμένῳ καὶ ὕλῃ· ἡ ψυχὴ ἄρα εἶδος· οὐκ ἄρα σῶμα· οὐδὲν γὰρ σῶμα εἶδός ἐστιν.

Ἔτι, ἀδύνατον δύο σώματα εἶναι ὁμοῦ· ἡ δὲ ψυχὴ οὐκ ἔστι καθ' ἑαυτὴν ἰδία τοῦ σώματος, ἐφόσον ζῇ.

Ἔτι, οὐδὲν σῶμα κινεῖ μὴ κινούμενον· ἀλλ' ἡ ψυχὴ ἐν τῷ ἀνθρώπῳ κινεῖ μὴ κινουμένη.

Ἔτι, τοὐλάχιστον ὁ νοῦς, τὶ τῆς ψυχῆς ὤν, οὐκ ἔστι σῶμα· τὸ γὰρ νοεῖν οὐκ ἔστιν ἐνέργεια τινὸς σώματος.

Ἐντεῦθεν ἐν τῇ Σοφίᾳ ἐκ προσώπου τῶν ἀφρόνων προβάλλεται, ὅτι „καπνὸς καὶ ἄνεμός ἐστιν ἐν ταῖς ῥισὶν ἡμῶν, καὶ λόγος σπινθῆρος πρὸς τὸ κινεῖν τὴν καρδίαν", περὶ ψυχῆς τοῦτο λεγόντων.

## LXVI. — Ὅτι ὁ νοῦς καὶ ἡ αἴσθησις οὐκ ἔστι ταὐτόν.

Καὶ τοῦτο δέ τινες ὑπέλαβον· ἀλλ' ἀδύνατον. Ἡ μὲν γὰρ αἴσθησις ἐν πᾶσι τοῖς ζῴοις εὑρίσκεται, μόνος δὲ ὁ ἄνθρωπος ἐν τοῖς ἄλλοις ζῴοις νοῦν ἔχει.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006